# RECTOR ET SENATUS

UNIVERSITATIS LIPSIENSIS

MEMORIAM

# BERNH. FRIDER. RUD. LAUHN

**DIE VIII. MENS. MAII A. MDCCCLVIII.**

HORA X.

IN AUDITORIO IURIDICO

PIE CELEBRANDAM

INDICUNT.

---

*Praemissa est Themistoclis epistolarum quae feruntur ab Antonio Westermanno denuo recensitarum pars prima.*

---

**LIPSIAE**

PROSTAT APUD A. EDELMANNUM,

BIBLIOPOLAM UNIVERSITATIS.

# ΘΕΜΙΣΤΟΚΛΕΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

## α′.

**Α**ἰσχύλῳ. Ἀπερχόμενοι μὲν εἰς Δελφοὺς καταίρειν διεγνώκειμεν ὡς ἐν Δελφοῖς, ἐφ᾽ ὅσον δοκεῖ Ἀθηναίοις, βιωσόμενοι, καθ᾽ ὁδὸν δὲ τῶν ἐξ Ἄργους μοι ξένων ἐντυγχάνουσι Νικίας καὶ Μελέαγρος, ὅ τε οὐ πρὸ πολλοῦ Ἀθήνησιν διατρίψας Εὐκράτης. καὶ περιστάντες ὡς ᾔσθοντο πυνθανόμενοι τοῦ ἐξοστρακισμοῦ, ἠχθέσθησαν μὲν εὐθὺς καὶ πολλὰ Ἀθηναίοις ἐνεκάλουν, ἐπεὶ δὲ ἔγνωσαν, ὅτι εἰς Δελφοὺς ὥρμημαι καταίρειν, πανσάμενοι τοῖς Ἀθηναίοις ἐγκαλεῖν

---

Contuli denuo unicum harum epistolarum codicem Palatinum saeculi decimi 398 (A), ex quo primus ediderat Io. Matth. Caryophilus Romae 1626 (r); qui quidem leviora librarii menda pleraque sustulit, ipsam vero codicis scripturam parum accurate rettulit. fusius de hoc libro exposui in Actis reg. soc. litt. Lips., class. phil. hist. t. 1. p. 215 sqq. ex eodem ordinem epistolarum restitui a Caryophilo primum, mox magis etiam a reliquis editoribus (Ehingero 1629, Schoettgenio 1710, Bremero 1776) praeter rem disiectum. est igitur

| A | r | rell. | A | r | rell. | A | r | rell. |
|---|---|---|---|---|---|---|---|---|
| 1 = | 1 = | 1 | 8 = | 14 = | 11 | 15 = | 4 = | 7 |
| 2 = | 2 = | 13 | 9 = | 15 = | 8 | 16 = | 5 = | 2 |
| 3 = | 9 = | 18 | 10 = | 16 = | 10 | 17 = | 6 = | 12 |
| 4 = | 10 = | 9 | 11 = | 17 = | 3 | 18 = | 7 = | 5 |
| 5 = | 11 = | 20 | 12 = | 18 = | 6 | 19 = | 8 = | 4 |
| 6 = | 12 = | 15 | 13 = | 3 = | 17 | 20 = | 20 = | 19 |
| 7 = | 13 = | 16 | 14 = | 19 = | 14 | 21 = | 21 = | 21. |

ceterum impetrare a me non potui ut reliquarum editionum vitia, itemque emendationes quum ab editoribus tum ab aliis propositas omnes recenserem: itaque harum satis habui eas tantum adnotare, quae aliquam certe veri speciem prae se ferre viderentur.

I. 3. *Νικίας* r, *νεικίας* A.

ἐμὲ ἐκάκιζον, καὶ ἠτιμᾶσθαι μὲν ἑαυτοὺς ἔφασκον, εἰ μὴ ἐπιτήδειοι ὑπελήφθησαν αὐτοὶ τὸ ἀτύχημα ἡμῶν ἐκδέξασθαι, ἐμαρτύροντο δὲ Νεοκλέα τὸν ἡμέτερον πατέρα ὡς ἐπὶ πλεῖστον βιώσειεν ἐν Ἄργει, ἐγὼ δὲ ἀμελοίην αὐτοῦ ἀγαπήσαντος Ἄργος τε καὶ τοὺς ἐν Ἄργει φίλους, οὐ μακρὰν δὲ ἦσαν καὶ ἐπαινεῖν Ἀθηναίους ὡς δίκαια τινόντων ἡμῶν, τελευτῶντες δὲ ἐδέοντο μὴ σφᾶς κατακρίνεσθαι τῆς ἐντυχίας μόνον τῆς ἡμετέρας αἰτίους γεγονέναι, μηδὲ ὑβρίσαι αὐτῶν τὸ εὐτύχημα τῆς ἀπαντήσεως, Νεοκλέα τε πάλιν προφέροντες καὶ ὡς ἄξιον εἴη πόλει τε τῇ αὐτῇ τῷ πατρὶ καὶ οἴκῳ ἐμβιῶναι. ὥστε ἀπῆγον ἡμᾶς ἔχοντες εἰς Ἄργος, Αἰσχύλε. καὶ νῦν ἐν Ἄργει τὴν φυγὴν ἀνεπαύσαμεν, καὶ πολλὰ πάσχομεν οὐδὲ ἄρχειν βουλόμενοι Ἀργείων· ἀγανακτοῦσι γὰρ ὡς ἀδικούμενοι, ἢν μὴ ἄρχωμεν, ἡμῖν δὲ ἀρέσκει μηδὲ μεγάλοις εἶναι δοκεῖν, οὐ μόνον ὅτι ἔβλαψαν ἡμᾶς ταῦτα, ἀλλὰ καὶ ὅτι ἀρκεῖ αὐτῶν ἐν δέοντι ἀπολελαυκέναι.

## β′.

*Παυσανίᾳ.* Ἐξωστρακίσμεθα, ὦ Παυσανία, ὑπ᾽ Ἀθηναίων, καὶ νῦν ἐν Ἄργει ἐσμέν, ὡς μή τι κακὸν ὑφ᾽ ἡμῶν Ἀθηναῖοι πάθοιεν· ἔδοξαν γὰρ ὅτι πείσονται, καὶ οὐδὲν ἔτι μέλλων ἐγώ, ὥσπερ οὐδὲ ἐξῆν ἔτι μέλλειν, μετέστην ἐξ Ἀθηνῶν καὶ ἀπέλυσα αὐτοὺς τοῦ φόβου. Ἀργεῖοι δὲ πλεῖον ἢ κατὰ φυγάδας προσάγονται ἡμῖν, καὶ ὧν Ἀθηναῖοι εὖ ἔπαθον, οὗτοι ἀμείβεσθαι θέλουσιν, ὥστε καὶ στρατηγίας ἀξιοῦσιν ἡμᾶς ἀναλαμβάνειν καὶ ἐπιστάτας ὅλου Ἄργους γίνεσθαι. καὶ οὐ μικρὰ ἀδικοῦσιν οὐκ ἐῶντες ἡμᾶς εἶναι φυγάδας, ὡς ἠθέλησαν Ἀθηναῖοι, ἐγὼ δὲ καὶ ἀτιμάζειν αὐτῶν τὴν προθυμίαν αἰδοῦμαι καὶ ἔτι μᾶλλον λαβεῖν ἃ διδόασιν οὐχ ὑπομένω· ἢ γὰρ ἂν τὰ τοιαῦτα ἐγὼ διώκων εἰκότως ἂν καὶ ἐξωστρακίσθαι δοκοίην, καταγνώσεως τε ἐγγὺς εἶναι, μετασταθέντα με ὑπὸ Ἀθη-

---

2. *ἐμαρτύροντο* correxi, *ἐμαρτύραντο* Ar. || 4. *ἀμελοίην αὐτοῦ* Habichius (comm. de ep. Them. Goth. 1849), *ἀμελῶ ἐμαυτοῦ* Ar. || 7. *ἐντυχίας* A, *εὐτυχίας* r, *ἀτυχίας* Schoettgenius. || 8. *προφέροντες* r, *προσφέροντες* A. || 9. *ἐμβιῶναι* Caryophilus, *ἐνὶ βιῶναι* A, *ανιβιῶναι* r. || 11. *φυγὴν* Caryophilus, *φύσιν* Ar, *ψυχὴν* Schoettgenius. || *οὐδὲ* correxi, *οὔτε* Ar. || 12. *ἀγανακτοῦσι* correxi, *ἀναγκάζουσι* Ar. || 13. *μηδὲ* correxi, *μήτε* Ar.

II. 23. *γίνεσθαι* correxi, *γενέσθαι* Ar. || 26. *διώκων* r, *διώκω* A.

*ναίων ὡς ἄρχειν ὀρεγόμενον ἐξ Ἄργους φεύγειν, ὅτι ἄρχειν ἀναγκάζομαι. ἀλλ' ἐμοὶ μέν, ὦ Παυσανία, κουφότατον, εἰ κρείσσω παραιτήσεως τὴν σπουδὴν ποιοῖντο, μεταβάντι εἰς ἄλλην πόλιν διάγειν, ὡς ὅπῃ ἂν φύγοιμι, πάντῃ μοι φυλάσσεται ἴσον τὸ μὴ ἐν Ἀθήναις εἶναι. σοὶ δὲ οὐκ οἶδα ἐπὶ μέγα προχωροῦντι μὴ νῦν μάλιστα συναχθεσθαι δεῖ καὶ δεδιέναι περὶ σοῦ· τοῦ τε γὰρ Ἑλλησπόντου σε ἅπαντος ἄχρι Βοσπόρου σχεδὸν ἄρχειν ἀκούω, πειρᾶσθαι δὲ σε καὶ τοῦ Ἰωνικοῦ καὶ πολὺ ἤδη καὶ παρὰ βασιλεῖ τὸ σὸν ἀκούεσθαι ὄνομα, ὥστε οἱ τὰ βέλτιστα εὐχόμενοι περὶ σοῦ πολύ σε βουλοίμεθα ἂν τῶν νῦν ἐλάσσονα εἶναι. καὶ σὺ δέ, ὦ Παυσανία, ἄνες τῆς εὐτυχίας καὶ μὴ ἀγνόει, ὅτι ἀτεχνῶς, ὦ Παυσανία, τοῖς ἀνθρώποις τὰ ἀτυχήματα τρέφουσιν αἱ εὐπραγίαι. καὶ τοῦτ' ἐν πᾶσι μὲν ἀεὶ νενίκηκεν ταύτῃ ἔχειν, μάλιστα δὲ τοῖς ὑπὸ νόμους τε καὶ δήμους κειμένοις. δοῦλοι γὰρ τοῦ πλήθους ὄντες, ὦ Παυσανία, ἀρχὴν λαμβάνομεν, ἄρχοντες δὲ τοῖς δοῦσιν ἐπίφθονοι γινόμεθα, ἔπειτα οὐκ ἐπὶ τὴν αὐτὴν ἡμᾶς ἀπολύουσι χώραν, ἐν ᾗ καὶ πρὶν ἄρχειν ἦμεν, ἀλλὰ δοκιμάζοντες ἄρα τὴν ἑαυτῶν ἐξουσίαν καὶ συλλαμβανόμενοι τῷ σάλῳ τῆς τύχης εἰς φυγὰς ἀθανάτους καταλύουσιν τοὺς ἄρχοντας. καὶ δεῖ ἄρα ἐν πόλει τοὺς εὖ πράσσειν θέλοντας τούτου αὐτοῦ φείδεσθαι μάλιστα. σκόπει οὖν,, ὦ Παυσανία, ὅπως ἥκιστα ἐκ τῶν παρόντων μεγάλη σε δέξεται μεταβολή· ἡμεῖς μὲν γὰρ ὧδε ἔχοντες οὐκέτι τὴν εὐτυχίαν διώξομεν.*

*γ'.*

*Πολυγνώτῳ. Φεύγομεν, ὥσπερ ἐγκελεύῃ, κατὰ τά ὦ Πολύγνωτε, καὶ ἐξελθόντες ἐξ Ἄργους ἐν θαλάσσῃ ἐσμέν τε πλοῦς ἐπὶ Κέρκυραν ἡμῖν τέταται, καὶ νεαλῆ ἔχοντες τὰ ..ωια κατεχόμεθα. τὸν μὲν οὖν ἄγγελον τῆς σπουδῆς καὶ σὺ ἐπαινέσεις· ἀφεθεὶς γὰρ ᾗ τὴν ἐκκλησίαν ἔλυσαν Ἀθηναῖοι οὐ πόρρω τῆς ἑσπέρας, ὥς φασιν, οὔσης μετὰ τὴν νύκτα ἐκείνην ἡμέρας ἣν ἐν Ἄργει, μηδὲ μεσημβρίας ἤδη ἐφισταμένης. δέος δέ ἐστιν μὴ ἀνωφελῆ ἡμῶν τὴν*

1. *φεύγειν*] exspectes *μὴ φεύγειν*. || 3. *ποιοῖντο* correxi, *ποιεῖ τὸ* A, *ποιεί τῷ* r. || 4. *ἀθήναις* A, *Ἀθηναίοις* r. || 6. *δεῖ* A, *δέῃ* r. || 12. *καὶ τοῦτ'* r. *καὶ τοῦτουτ'* A. an *καίτοι τοῦτ'*? || 18. *ἀθανάτους*] *καὶ θανάτους* Dorvillius ad Char. p. 570.

III. 29. *μετὰ τὴν* Caryophilus, *αὐτὴν* Ar. || 30. *ἐφισταμένης* r, *ἐπισταμένης* A.

*σπουδὴν ἐπιμένων ὁ χειμὼν ποιήσῃ ἢ καὶ βραδύτεροι τῶν ἀγγέλων οἱ φεύγοντες γενώμεθα. ἢν δὲ καὶ Λακεδαιμόνιοι τῆς φυγῆς αἴσθωνται διώξει χρώμενοι αὐτίκα αὐτοῖς ἀγαθὸς ἔσται ὁ Παυσανίας, ταὐτὰ καὶ ἡμᾶς ἐργασάμενοι. σοὶ μὲν οὖν, ὦ Πολύγνωτε, σωζόμεθα καὶ οὐδὲν ἡμᾶς οὔτε χειμὼν οὔτε Λακεδαιμόνιοι σοί γε χάριν εἰδέναι κωλύουσιν, ἀλλὰ σὲ ἀγάμεθα καὶ τοῦ ἀγγεῖλαι σπουδῇ τοσαύτῃ τὰ ἐκ Λακεδαιμονίων πραχθέντα καὶ τὴν Ἀριστείδου σπουδήν, ἣν μόνος περὶ ἡμῶν καίπερ ἐχθρὸς ὢν ἐπεδείξατο, καὶ τοῦ διαγορεῦσαι μὴ φεύγοντας ἡμᾶς ὑπ' ἐχθροῦ καταληφθήσεσθαι καὶ διεγνωσμένου ἤδη θανάτου. θεὸς δ' ἂν εἴη τὸ ἐκ τοῦδε αἴτιος, εἴ σοι ἄρα τούτων καὶ τὰς ἀμοιβάς, ὦ Πολύγνωτε, ἀποτίσομεν.*

*δ'.*

*Ἀβρωνίχῳ. Οὐ τὸ παθεῖν Ἀθήνησιν ἀδίκως καὶ ἀναξίως, ὦ Ἀβρώνιχε, καινὸν εἶναί μοι φαίνεται, ἐπεὶ τοῦτο μὲν τοῦτ' ἔστιν, τὸ μὴ παθεῖν τι καινότερον, ἀλλ' ὅτι τέως μὲν ὀλιγοχρόνιός τις ἦν ὁ φθόνος καὶ ταχὺν ἴσχων τὸν μετάμελον ἐν τῇ πόλει ἡμῶν, μᾶλλον δὲ ἐν τῇ ὑμετέρᾳ πόλει, — ἐμοὶ μὲν γὰρ ὡς περὶ ἀλλοτρίας ἤδη οἱ λόγοι — τανῦν δέ — ὁρᾷς γὰρ ὅσον ἐφ' ἡμῶν τούτων ἐπιδίδωσιν τοὐπιχώριον πάθος — ὠστρακισμένους ἡμᾶς κατεψηφίσαντο, τὸ καινόν γε τοῦτο ποιοῦντες, ἐκ τῆς φυγῆς φυγαδεύοντες. μὰ Δί' ἀλλ' οὐδὲ φεύγειν ἐῶσιν, εὖ οἶδ' ὅτι φήσεις. καὶ γὰρ ἔγωγε πέπυσμαι, διότι ἡ φυγὴ μὲν ὀλίγον τι ἔδοξεν αὐτοῖς εἶναι τιμώρημα ἐπ' ἄνδρα τοσαῦτα καὶ τηλικαῦτα κατειργασμένον αὐτῶν τοὺς πολεμίους, θανάτῳ μέντοι δεδόχθαι σφίσιν αὐτοῖς κολάζειν ἡμᾶς. αὐτοῦ γε τούτου εἵνεκα καὶ μαστῆρες Ἀθηναίων εἰς Ἄργος ἴασιν σκοποῦντες, ἕπονται δὲ αὐτοῖς καὶ Λακεδαιμόνιοι. ἐμὲ δ' οὐκ Ἀθηναίοις ἐλύπουν, ὦ Ἀβρώνιχε, ἑπόμενοι Λακεδαιμόνιοι, Ἀθηναῖοι*

---

3. *διώξει — ἐργασάμενοι* Ar, nisi quod *ταὐτὰ δὲ ἡμᾶς* r. fort. scrib. *διώξει χρωμένοις αὐτίκα αὐτοῖς ἀγαθὸς ἔσται ὁ Παυσανίας, φαῦλα δὲ ἡμεῖς ἐργασάμενοι.* || 5. *οὐδὲν* r, *οὐδὲ* A. || *σοί* Habichius (qui et *τοῦ* coni.), *σοῦ* Ar. || 9. *καὶ*] an *ὡς*?

IV. 13. *Ἀβρωνίχῳ* (et sic infra) correxi, *ἀβρονίχῳ* Ar. || 15. *τις* add. A, om r. || 18. *τούτων* Ar, *τοῦτο* Caryophilus. || 19. *τοὐπιχώριον* A, *τὸ ἐπιχώριον* r. || 26. *σκοποῦντες* correxi, *καὶ πάντες* Ar.

*δέ με ἀνιῶσι Σπαρτιάταις ἑπόμενοι. καίτοι οὐκ Ἀθηναίοις διαβάλλουσι πιστεύοντες οἱ τῶν Λακεδαιμονίων ἔφοροι Παυσανίαν ἐκόλαζον, ἀλλ᾽ οὐδὲ τοῖς φίλοις τοῖς Παυσανίου καὶ συνειδόσιν ἐκείνῳ τοὔργον ἅπαν, μόλις δ᾽ αὐτῷ τῷ Παυσανίᾳ ὁμολογοῦντι, οἱ δ᾽ ὑμέτεροι οὐδενὶ τῶν ἀλλοτρίων, οὐδ᾽ εἰ πολέμιος εἴη, ἐπὶ τοὺς ἰδίους ἀπιστοῦσιν. τὸ δ᾽ αἴτιον οἶμαι τούτου, διότι ἥδιον οὗτοι τοῖς φίλοις φθονοῦσιν ἤπερ ἄλλοι τοὺς ἐχθροὺς μισοῦσιν. ἀλλ᾽ οὐκ Ἀθηναίους γὰρ ἐλέγχειν ἐπιχειρῶν ἔγωγε λανθάνοντας τουτὶ γράφω, εἴγε, ὦ θεοὶ φίλοι, ἐλάνθανον μόνον· νῦν δὲ τοῖς ἐπαινοῦσιν αὐτοὺς μᾶλλον ἄπορος ἡ συνηγορία ἢ τοῖς ψέγουσιν ἀναγκαῖος ὁ ἔλεγχος· ἀλλὰ προσοδύρασθαί τί μοι ἔδοξεν ἀνδρὶ ἑταίρῳ ἐμαυτοῦ καὶ φίλῳ, ἔτι δὲ καὶ ὑπομνῆσαι τῶν οἰκείων, περὶ ὧν εὐλαβεῖσθαί σε δεῖ μᾶλλον, ὅτι Λακεδαιμονίους ὁρῶμεν Ἀθηναίων ἄρχοντας καὶ ψηφιζομένους Ἀθήνησι κατὰ τῶν ἰδίων ἐχθρῶν ψηφίσματα. ἡ δὲ τῆς ὀργῆς αὐτῶν αἰτία οἶσθας, ὦ τᾶν, ὅτι ὁμοία μὲν ἐφ᾽ ὑμᾶς, ὁμοία δὲ ἐπ᾽ ἐμέ, ἐπείπερ ἄμφω τὸ στρατήγημα τῆς περιτειχίσεως τοῦ ἄστεος παρ᾽ αὐτοὺς ἐπρεσβεύσαμεν. τῷ μὲν γὰρ συμπρεσβευτῇ ἡμῶν ἅτε ἀνδρὶ δικαίῳ καὶ δεόντως τοῦτο τοὔνομα ἁρπάσαντι καὶ μόνῳ εἰς τοὺς Ἕλληνας φερομένῳ ἁρπαγὴν ἔοικεν διάλυσις εἶναι πρὸς Λακεδαιμονίους ἡ σὺν αὐτοῖς ἐφ᾽ ἡμᾶς ὁμοφροσύνη. ἀλλ᾽ ἐκεῖνος μὲν ἐρρώσθω ἐπίκοτος ὢν αἰεὶ καὶ δυσμενὴς καὶ φθονερός, καὶ ὥσπερ ποτὲ ἔφη Κάλλαισχρος ἐπ᾽ αὐτοῦ, μᾶλλον τῷ τρόπῳ Ἀλωπεκῆθεν ἢ τῷ δήμῳ. σὺ δὲ οὖν, Ἀβρώνιχε, τὰ παρόντα εὖ τίθεσο καὶ περὶ τῶν μελλόντων ἐκ τοῦ μηκίστου εὐλαβοῦ καὶ δέδιθι, καὶ Ἀθηναίοις πολλοῦ ἄξιος εἶναι εἰ καὶ πεφύκοις, ὥσπερ πέφυκας, ἀλλ᾽ ἀποκρύπτου τὰ πλείω καὶ ἀγάπα λανθάνων. ταυτὶ μέν, ὦ βέλτιστε, περὶ σοῦ πρὸς σέ, τῶν δὲ ἐμῶν τὰ μὲν ἐνθάδε ἐμοὶ μελήσει δῆλον ὅτι, καὶ διαφευξόμεθα τούς τε οἴκοθεν ἐπὶ τὴν θήραν ἡμῶν ὡρμημένους κυνηγέτας καὶ τοὺς Λακωνικοὺς κύνας, οἱ δὲ ἐπιχωρήσομεν Ἀθηναίοις μὲν ἐναγέσιν γενέσθαι τοῦ ἡμετέρου*

---

8. *γὰρ* A, *γε* r. || 10. *αὐτοὺς* r, *αὐτοῖς* A. || 13. *δεῖ* Caryophilus, *καὶ* Ar. || 15. *οἶσθας* A. *οἶσθα* r. || 17. *ἐπρεσβεύσαμεν* A, *ἐπρεσβεύομεν* r. || 19. *ἁρπάσαντι καὶ* correxi, *ἁρπάσαντος* A. *ἁρπάσαντι* r. || *ἁρπαγὴν* correxi, *τὴν ἁρπαγὴν* Caryophilus: *αρπακειν* A, *ἁρπάκειν* r. || 24. *περὶ* addidi. || 25. *δέδιθι καὶ* correxi, *δέδιθι* Habichius, *δεδιέναι* Ar. || *εἶναι εἰ καὶ* correxi, *εἶναι. εἰ δὲ καὶ* Ar. || 30. *ἐπιχωρήσομεν* adscr. *αι* super *ω* A.

μύσους καὶ παλαμναῖον ἢ ἀλιτήριόν τι προστρῖψαι τῇ πόλει οὐκ ἀκεστόν, οὐδ᾽ ὃ χαλκείοις ἀνδριάσιν ἀποδιοπομπήσαιντ᾽ ἄν, οἷα περὶ Παυσανίου Σπαρτιάταις ὁ θεὸς ἔχρησεν, ἀλλ᾽ ἐναγέσι νὴ Δία ἄφυκτον καὶ τοῦ Κυλωνείου πέρα, τοῖς δέ γε μὴν Λακεδαιμονίοις διπλῇ, μᾶλλον δὲ τριπλῇ ἡσθῆναι ἡμᾶς μὲν ἀποτισαμένοις ἀνθ᾽ ὧν ὑπὲρ τῆς πρεσβείας τῆς μετὰ σοῦ δι᾽ ἔχθους ἡμῖν ἐγένοντο, ἀπάτην εἶναι λέγοντες ἡμετέραν τὴν κωλύμην αὐτῶν τῆς ἀδικίας, ἀλάστορα δὲ ἀκέραιον καὶ ποίνιμον εἰς τὰς κεφαλὰς τῶν Ἀθηναίων ἐξομορξαμένοις ἀνοσίως ἐμοῦ μιαιφονηθέντος ὑπ᾽ αὐτῶν, τὴν δὲ εἰς τοὺς Ἕλληνας αἰσχύνην, ἐπεὶ προὐδίδω σφᾶς ὁ βασιλεὺς τῆς Λακεδαίμονος, ἐπικουφιεῖν οἰομένοις, εἰ καὶ πρὸς Ἀθηναίων ὁ στρατηγὸς αὐτῶν ἐγὼ προδότου δίκην ὁμοίως ἂν φαινοίμην κεκολασμένος. τούτων μὲν οὖν ἵνα μηδὲν γένηται ἐγὼ προμηθήσομαι, ὥσπερ ἔφην, κατὰ τὸ δυνατόν, καὶ τά τε νῦν ὡς ἐν ἀνθρωπίνῳ λογισμῷ ἐξευλαβούμεθα καὶ τὸ λοιπὸν ἔπειτ᾽, ἂν τελείως ἅπαντα ἐν ἀσφαλεῖ γένηται, πεύσῃ περὶ πάντων καὶ καθέκαστα ἐπιστελοῦμέν σοι. τὰ δὲ αὐτόθι ἀντιβολοῦμέν σε καὶ ἱκετεύομεν, ὦ κράτιστε ἑταίρων, καὶ συλλαμβάνειν, ὡς ἂν οἷός τε ᾖς, καὶ βοηθεῖν ἡμῖν ἄντικρυς, τὰ μὲν χρήματα μὴ φυλάττοντα ἐμοὶ μηδὲ τοῖς ἐμοῖς παισίν, ἀλλὰ καιρίως ταῦτα καὶ δεξιῶς ὑπὲρ τῶν παίδων καὶ τῆς μητρὸς αὐτῶν ἀπολλύοντα, αὐτὸ δὲ τοῦτο σκοπούμενον ὁσημέραι, ὅπως τὸν Κλεόφαντον ἡμῖν καὶ τὰς ἀδελφὰς αὐτοῦ καὶ τὴν μητέρα περισώσεις· ὕπεισι δὲ σοὶ ἡ πρὸς τοὺς ἐμοὺς εὔνοια δι᾽ ἡμᾶς ἴσως, ἢ συ θαρσεῖς, καὶ διὰ Λυσικλέα δὲ τὸν υἱόν σου σοί τε αὐτῷ στερκτέα καὶ ἐκείνῳ οὐκ ἀμελητέα, εἰ μὲν ἀξιωθησόμεθα κηδεσταὶ ὑμῶν γενέσθαι, ὅτι σοὶ μὲν υἱός ἐστιν, ἐκείνῳ δὲ γυνή, εἰ δὲ μή, ὅτι ἐμέλλησέν τε καὶ ἠλπίσθη ποτέ. καὶ οἶμαι μὲν οὐδὲ τοὺς Ἀθηναίους αὐτούς, εἰ καὶ πάνυ λυποίη καὶ μέγας γένοιτο ὁ τῶν μισούντων ἡμᾶς φθόνος, εἰς

1. οὐκ ἀκεστόν, οὐδ᾽ ὃ — ἀποδιοπομπήσαιντ᾽ ἂν correxi, οὐκ ἀρεστὸν οὐδὲ — ἀποδιοπομπήσει (ἀποδιαπομπήσει r) μὲν Ar. || 3. ἐναγέσι νὴ Δία ἄφυκτον correxi, ἐναγῆ τινα καὶ ἀφύλακτον Ar. || 4. Κυλωνείου r, κυλωνίου A. || 5. ἀποτισαμένοις r, ἀποτισαμένους A. || 10. ἐπεὶ (hoc et Caryophilus) προὐδίδω correxi, ἐπιπροδιδοὺς Ar. || 11. ἐπικουφιεῖν Caryophilus, ἐπικουφιεῖ Ar. || οἰομένοις r, οἰομένους A. || 14 τά τε correxi, τάδε Ar. || 15. ἐξευλαβούμεθα r, ἐξευλαβήμεθα A. || 17. αὐτόθι correxi, αὐτὸς Ar. || ἱκετεύομεν r, ἱκετεύωμεν A. || 20. ἀπολλύοντα A, ἀπολύοντα r. || 23. ἐμοὺς correxi, ἄλλους Ar. || ἢ συ θαρσεῖς] fort. οἷς ὑπάρχεις vel ὑπουργεῖς.

*γύναιον ἢ εἰς παιδάρια παροινεῖν ἐπιχειρήσειν, οὐθ᾽ ἑτέροις ἐπιτρέψειν· εἰ δ᾽ αὖ λεπτή τις ἐλπὶς μόνον, μᾶλλον δ᾽ ἀμυδρὰ ἡ ὑποψία, ὀνείρῳ ὑμᾶς ἴσον μενέτω καὶ δὴ γιγνέσθω αὐτίκα σοι βοήθεια τὸ δέος. τὸ δὲ ὅπῃ πεμπτέον αὐτοὺς καὶ ὅπως τὴν ἀπάλλαξιν στελουμένους, τὸν παιδαγωγὸν οἶσθα τὸν Κλεοφάντου, ὅς κἀμέ ποτε ἐθεράπευεν· Σίκιννος αὐτῷ τοὔνομα. ἐκείνῳ μόνον τὸ χρῆναι μὴ μένειν ὑπόθου, τὰ δὲ ἄλλα ἐπίσταται καὶ δράσει αὐτός. ἀλλὰ γὰρ οὐχ οὕτως ἤδη μισητέον Ἀθηναίους ἡμῖν, ὥστε καὶ τοιαῦτά τινα περὶ αὐτῶν ὑπολαμβάνειν, οἷα οὔτε ἐγένετο πώποθ᾽ ὑπ᾽ αὐτῶν, οἶμαί τε ὅτι οὐδὲ ἔστιν, οὐδὲ ἄρα γένοιτο οὐδέν γε περιττὸν πάλιν ἐν τοῖς οὕτως ἀναγκαίοις. δεδήλωκά σοι τὸ χρεὼν ὑπὸ σοῦ πραχθῆναι καὶ σὺ ποιήσεις δηλονότι, ὥσπερ ἐγὼ ἐπισκήπτω. ταῦτα μὲν νῦν ἐπείγειν ἡμᾶς ἐδόκει γράφειν παρὰ σέ, μετὰ ταῦτα δέ, ὅταν τὰ μετὰ ταῦτα γένηται, γράψομεν.*

### ε΄.

*Τημενίδᾳ. Τὰ ἐν Ἀδμήτου οὕτως ἡμῖν ἐπράττετο, ὅπως σὺ ἂν ἔδοξας. ὅτε μὲν οὖν ἥκομεν εἰς αὐτοῦ, οὐκ ἔνδημος ἦν, ἀλλ᾽ ἀπεδήμει εἰς Χάονας, ἐπιτυχόντες δὲ Κρατησιπόλιδι καὶ Στρατολάῳ τοῖς σοῖς ἀπεδίδομεν ἐκείνῃ τὰ γράμματα. καὶ ὁ μὲν ἧκεν οὐ πολλῶν, ἀλλ᾽ ὀκτὼ ἢ ἐννέα ἴσως ἡμερῶν, ἡμεῖς δὲ ἐφέστιοι ἐκαθεζόμεθα, — οὕτω γὰρ ἐκέλευεν ἡ Κρατησίπολις — Ἀρύββας δὲ ὁ μικρὸς ὑποχείριος ἦν ἐμοὶ καὶ ξίφος ἐν θατέρᾳ. ἰδὼν οὖν ἐμὲ καὶ τὸ παιδίον ὁ Ἄδμητος ἐμὲ μὲν ἐγνώρισεν καὶ εὖ οἶδ᾽ ὅτι ἐμίσησεν, τὸ δὲ παιδίον ᾤκτειρεν, τὸ δὲ ἐγχειρίδιον ἔδεισεν. ἀναστήσας τέ*

---

3. *ὀνείρῳ ὑμᾶς ἴσον μενέτω.* sic Ar, nisi quod *ἡμᾶς* r. quae intacta reliqui, quum certa medicina non succurreret. erat quum conieci *ἐκείνων μηδεὶς οἴκοι μενέτω* aut *οἰκτείρειν ἡμᾶς* sive *φοβεῖσθαι πᾶσι σοι μελέτω* scribendum esse. || *σοι* correxi, *δὴ* Ar. || 4. *τὸ δὲ ὅπῃ πεμπτέον* correxi, *τοδεοιτηπεμπτον* A, *τόδε οἱ πεμπτέον* r. || 5. *τὸν* r, *τοῦ* A. || 6. *Σίκιννος* correxi, *σικίννις* Ar. || 10. *τε* correxi, *δὲ* Ar. || *γένοιτο οὐδέν γε* corrrexi, *γένοιτο· οὐδὲν γὰρ* Ar. || 12. *μὲν νῦν* correxi, *με νῦν* A, *μὲν οὖν* r.

V. 17. *ἂν ἔδοξας*] immo *ἀνέδειξας* vel *ἐδίδαξας* vel *ἐπέταξας*. sin verum illud, malim *οὐκ* pro *σύ*. || *αὐτοῦ* correxi, *αὐτοὺς* Ar. || 19. *τὰ* add. Caryophilus. || 20. *ἐκαθεζόμεθα* r, *καθεζόμεθα* A. || 21. *Ἀρύββας* correxi, *ἀρύβδας* A, *Ἀρίβδας* r.

με οἴκοι μένοντα ἀπηρνεῖτο οἷός τε εἶναι περισώζεσθαι δύνασθαι, Ἀθηναίους ὀρρωδῶν καὶ μᾶλλον ἔτι Λακεδαιμονίους, πέμψειν δ' ὅπη σώσομαι ὑπέσχετο, καὶ πέπομφεν. Ἀλεξάνδρου γὰρ τοῦ Μακεδόνος ἐπέβην ὁλκάδι. εἰς Πύδναν τὰ νῦν ὥρμητο ἡ ναῦς, ἐκεῖθεν δὲ ἐπίδοξος ἦν εἰς τὴν Ἀσίαν καταίρειν. ταῦτά σοι τὰ περὶ τῆς παρ' Ἄδμητον ἦν ἀφίξεως. καὶ ἵνα γράφῃς Ἄργοθεν, οὐκ αὐτῷ δὲ Ἀδμήτῳ, — ἐκεῖνος μὲν γὰρ οὐδὲ πάνυ τι ἐῴκει βουλομένῳ με σῶν ἀπεῖναι — ἀλλὰ τῇ Κρατησιπόλιδι παρά τε τῆς ἀδελφῆς καὶ παρὰ σοῦ μέντοι· οὐδὲ γὰρ σοῦ μεῖον ἢ ἐκείνης ἐδόκει μοι προμηθὴς εἶναι.

ς'.

Φιλοστεφάνῳ. Ἀνιῶμαι μέν, ὦ Φιλοστέφανε, τῆς σῆς ἀχαριστίας καὶ καθόλου ἀδικίας εἰς ἐμαυτόν, ἄχθομαί γε μὴν οὐκ ἐπὶ μεῖον, ἀλλὰ τῷ παντὶ πλεῖον τῆς ἐμαυτοῦ νωθείας καὶ ὅτι κινδυνεύω βλάξ τις ἠλιθίως βεβιωκέναι πάντα τοῦτον τὸν βίον, οὐδ' ὑπὲρ ἑνὸς ἀνδρὸς ἐν τῇ τριόδῳ καθεζομένου τῆς Ἑλλάδος γυμνοῦ τὰ ἤθη διὰ τὴν τῆς ἐργασίας περιφάνειαν ἀληθές τι ἢ προσῆκον ἐρρωμένως εἰκάσαι καὶ ὑπολαβεῖν. καίτοι ἡγοῦμαι μὲν σὲ καὶ δι' ἐμαυτὸν εὐδαιμονέστερον καὶ λαμπρότερον γεγονέναι οὐ μόνον τῶν ἐν Κορίνθῳ, ἀλλὰ καὶ τῶν ἀλλοθί πη τῇ τοῦ τραπεζιτεύειν ἐργασίᾳ χρωμένων. ᾔσθα δὲ καὶ πρὶν ἐμέ σοι συμβαλεῖν εἰ καὶ μὴ πλούσιος οὕτως, ἀλλὰ πιστὸς εὖ μάλα καὶ πιστότερός γε ἢ νῦν εἶναι κινδυνεύεις, ὅτε περ καὶ δι' ἡμᾶς γέγονας πλούσιος. ὥστε οὐδὲ ἐμή γε ἡ ἁμαρτία, ἀνεξετάστῳ καὶ ἀθεωρήτῳ τὸν τρόπον ἀνδρὶ πιστεῦσαι, ἐμὸν δὲ ἴσως τὸ δυστύχημα, τὸν μηδὲ ἄλλοις, ὑφ' ὧν οὐδὲ ἀγαθὸν πέπονθέ τι, ἄπιστον εἰς τὰ πρὸς ἐμὲ μόνον, ὑφ' οὗ τὰ τηλικαῦτα ὤνηται, ἄδικον γεγονέναι. ὅθεν δέ μοι ταῦτα πιστευτέον, ἥκων εἰς Ἔφεσον Ἀθήνηθεν ὁ Τίβιος ἔφραζέ μοι πεμφθῆναι ὑπὸ τῶν ἀμφὶ Μείδωνα, δεῆσαν αὐτοῖς ἐκ τῶν ἐμῶν γε πραγμάτων ἑβδομήκοντα

1. *μένοντα* Caryophilus, *μένειν* Ar. || 8. *σῶν*] *σόον* in mg. A. || 9. *μέντοι* A, *μενοῦν* r.

VI. 20. *τραπεζιτεύειν* r, *τραπεζειτεύειν* A. || 23. *ὅτε περ* Caryophilus, *ὅτιπερ* A. || *γε* Caryophilus, *γὰρ* Ar. || 25. *ἐμὸν — τὸ δυστύχημα τὸν* Caryophilus, *ἐμὴ* (*ἐμοί* r) *— τὸν δυστυχῆ αὐτὸν* Ar. || *ἄλλοις* correxi, *ἀπὸ* Ar. || 26. *πέπονθέ τι ἄπιστον εἰς* correxi, *πεπονθέναι πιστὸν εἰ* Ar. || 27. *πιστευτέον* correxi, *τισιν νέον* A, *τίσι νέον* r: *πιστὰ ἦν* Caryophilus. || *ἥκων* A, *ἡμῶν* r. || 29. *γε* correxi, *τι* Ar.

μνῶν ἀργυρίου, ταῦτα ἀποληψόμενος παρὰ σοῦ, βραχυτάτην μοῖραν ἐκ τετταράκοντα ὅλων ταλάντων, — τοσαῦτα γὰρ ὁ τελευταῖος λογισμός, ὃν ἐλογισάμεθα μετ᾿ ἀλλήλων ἐν Ἰσθμίοις, ἀπέφαινεν ἔτι παρὰ σοὶ περιεῖναι τῶν ἐμῶν — ἀναγνόντα τε σὲ τὰς ἐπιστολάς, πυθόμενόν τε τὴν χρείαν ἔπειτα ἀποφήνασθαι τῇ μὲν ἤπια καὶ ἐπιεικῆ, τῇ δ᾿ αὖ ἀγνώμονά τε καὶ μοχθηρά, ἐῶ γὰρ εἰπεῖν ἀνόσια. τὸ μὲν γὰρ φάναι φιλότητός τε τῆς πρὸς ἡμᾶς εἵνεκα καὶ χρειῶν, ὅσας ἐτυγχάνομεν ἀλλήλοις κεχρημένοι, προῖκα βούλεσθαι προέσθαι τἀργύριον ἐκεῖνο ἢ δάνειομα δανείζοντα χρήστην ὑπάρχειν εἰς ἐμέ, τοῦτο μὲν ἀστεῖόν τε ἐποίεις καὶ τῆς εὐνοίας τῆς πρὸς ἡμᾶς ἄξιον· ὁπότε μέντοι, ὥς φησιν ὁ Τίβιος, ἔξαρνος ἦσθα καὶ διέκεισο πικρῶς μηδοτιοῦν ὀφείλειν ἐμοί, τοῦτο δὴ πολὺ μεῖζον ἔπραττες κακὸν ἢ θάτερον ἀγαθόν. ἡ μὲν γὰρ χρηστότης σου ἑβδομήκοντα μνῶν ἐστιν ἀξία, ἡ δὲ πονηρία τεσσαράκοντα ταλάντων. εἰ μὲν οὖν — γένοιτο γὰρ ἄν, κἀγὼ καὶ νῦν ἔτι, καίπερ οὕτως ὑπὸ σοῦ παρ᾿ ἐλπίδα ἐκπίπτων, ὅμως οὔπω ταχέως οὕτως ἀφίσταμαι χρηστόν τε καὶ δίκαιον περί σου ὑπολαμβάνειν — περὶ τοῦ πιστοῦ ἄπιστος ἦσθα καὶ περὶ τοῦ δικαίου ἄδικος, οὐκ εἰς τὸ σαυτοῦ κέρδος θρασυνόμενος καὶ ἀναισχυντῶν, εἰς δὲ τοὐμὸν ὡς ἐδόκεις ὄφελος ἐξαρνούμενος, αὐτός τε ἂν εἴης οὐ κακός, κἀμὲ ἀποφήνειας οὐ μωρόν, ὅτι οὕτως ὑπὲρ σοῦ διετέθην· εἰ δ᾿ ἀληθῶς οἰόμεθα καὶ τοὐπὶ σοὶ εἶναι καὶ πανταχῇ πάντα Ἀθηναίων γέμει, οὔτε τοὺς θεοὺς ἀσεβῶν λήσεις, ὦ Φιλοστέφανε, οὔτε ἐμὲ ἀδικῶν καταπροΐξῃ, οὐδ᾿ εἰ κἀμοῦ καταφρονήσῃς καὶ τῶν θεῶν ἀμελῇς, ἀλλὰ τελευτῶν Ἀθηναίους γε οὐκ ἐκφεύξῃ. ἐπεὶ κἀγὼ τῷ παντὶ μᾶλλον ἄσμενος ὑπὸ τῆς πατρίδος ἂν τῆς ἐμαυτοῦ καὶ ταῦτα ἀφαιρεθείην, ὥσπερ καὶ τὰ ἄλλα πάντα, ἢ ὑπὸ Φιλοστεφάνου τοῦ Κορινθίου χρυσαμοιβοῦ τοσούτων χρημάτων ἀποστερηθείην. τοιγάρτοι ἤδη μοι γράφε καὶ ἀντεπίστελλε, ὅστις εἶ πρὸς ἐμὲ καὶ ὅπῃ σοι διέγνωσται τἀμὰ πρὸς

---

2. ἐκ r, ἐν A. || 4. σὲ addidi || 9. ἐκεῖνο add. A, om. r. || χρήστην Caryophilus, χρείας Ar. || 10. τε r, τι A. || 12. δὴ correxi, δὲ Ar. || 15. ὑπὸ σοῦ παρ᾿ ἐλπίδα Caryophilus, ὑπὸ τοῦ παρ᾿ ἐλπίδας A, ὑπὲρ τοῦ παρ᾿ ἐλπίδας r. || 16. ἐκπίπτων corrrexi, ηλιπτιων A, κλιπτίων r. || 21. εἰ — γέμει Ar, nisi quod ἀθηνιων A. fort. scrib. εἰ δὲ ἀληθῶς σε οἰόμεθα κἀμοὶ ἄπιστον εἶναι καὶ πανταχῇ παντὶ Ἀθηναίων γένει. || 23. καταπροΐξῃ r, καταπροηξιν A. || 29. τἀμὰ correxi, τἄλλα Ar.

σέ, ἵνα, εἰ μὲν ἐκεῖνος εἶ σύ μοι φίλος καὶ διαμένεις, ὃς ἦσθα, ὅπως μοι σωθήσεται εἰς ἐπανόρθωσιν τῆς ἐμῆς δυστυχίας τἀμὰ χρήματα βουλεύωμαι, εἰ δὲ μή, ὅπως οὐ παρὰ τὴν ἐμὴν γνώμην ἀπολεῖται.

ζ΄.

Φιλοστεφάνῳ. Ἧκέν μοι τὰς ἐπιστολὰς παρὰ σοῦ κομίζων εἰς Ἔφεσον, ὡς Ἀθηναῖοι λογίζονται βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, ὡς δὲ ὑμεῖς πανήμου δεκάτῃ, ἡ δὲ ἡμέρα ἡ αὐτή, Μένυλλος ὁ Χαλκιδεὺς κυβερνήτης, ὁ καὶ τὴν παρὰ Γέλωνός ποτε τοῦ Συρακοσίου τὴν μεγάλην ἐκείνην ὁλκάδα τοῦ σίτου καταγαγὼν εἰς Πειραιᾶ, καὶ αὐτός γε ἀπὸ γλώσσης ἠνίξατο πρός με εἰδότα, οὐκ εἰδὼς αὐτὸς ἃ αἰνίττεται, ἐγὼ δὲ ἐγνώριζον τοὺς πρός με σοὶ ξυντεθέντας συμβόλους. καὶ μέντοιγε καὶ τὸ ἔγγραπτον ἀπεδίδου, ἔνθα δυσφοροῦντι μὲν καὶ μεγάλως ἀσχάλλοντι ἐῴκεις, οὐκ ἀξιῶν ὅλως μὲν οὐδ' εἰς ἄλλον ἀνθρώπων οὐδένα πρὸς ἡμῶν ὑποτιμηθῆναι ἄπιστος ἂν καὶ ἀπεχθὴς γενέσθαι, τῷ παντὶ μέντοι μᾶλλον ἢ εἰς ἐμέ. ἔπειτα δὲ καὶ περί τε τῶν ἐμῶν χρημάτων ὑπηγόρευες, ἔχειν τε οὐκ ἐξαρνούμενος καὶ ὁπηνίκα ἂν καὶ οἵστισιν ἂν προστάττοιμεν ἀποδώσειν ὑπισχνούμενος, τά τε περὶ τοῦ Μείδωνος καὶ τοῦ Παμφίλου διεδήλους, ὅτι ἠγνόουν ἃ χρή, περί τε Τιβίου, ὅτι ἠγνωμόνει οὐπίτριπτος. ἐγὼ δὲ αἰδοῦμαι μέν, ὦ Φιλοστέφανε, ὁμολογεῖν, ὅτι λίαν ἥδομαι τοιαῦτα σοῦ φρονοῦντος μὴ τοῖς τετταράκοντα μᾶλλον ταλάντοις ἢ τῷ μὴ διεσφάλθαι τῶν ὑπὲρ σοῦ ἐλπίδων, σὺ μέντοι οὔπω ἴσθι τὰ τετταράκοντα ταῦτα τάλαντα ἀποδώσειν ἡμῖν ἔμελλες, οὐδὲ γὰρ εἰλήφεις πω αὐτά, καὶ τοῦ λαβεῖν οὐ ταῦτα μόνον, ἀλλὰ καὶ πρὸς τούτοις ἄλλα τριάκοντα ἄξιος ἡμὶν ἐδόκεις εἶναι· ἑβδομήκοντα γὰρ τὰ πλεῖστα τῶν ἡμετέρων παρὰ σοὶ ἐγένετο. οἱ δὲ πολὺ πλειό-

---

1. *εἰ μὲν ἐκεῖνος εἶ σύ μοι* correxi, *εἰ μὲν εἰ* (hoc m. ant. supra versum add.) *ἐκεῖνος εὔθυμος* A, *εἰ ἐκεῖνος εὔθυμος* r. || *ὃς* correxi, *ὡς* Ar. || 3. *βουλεύομαι* pr. m. A. || *ὅπως* Habichius, *ὅπου* Ar.

VII. 7. *λογίζονται* Caryophilus, *κομίζονται* Ar. || 9. *συρακοσίου* A, *Συρακουσίου* r. || 11. *γε* correxi, *τε* Ar. || *αὐτὸς ἃ* correxi, *αὐτὰ ἃ* A, *αὐτὰ ὡς* r. || 12. *συμβόλους* A, *συμβούλους* r. || 17. *ὑπηγόρευες* correxi, *ἀπηγόρευες* Ar. || 20. *οὐπίτριπτος* r, *ουπιτρεπτον* A. || 23. *τῷ* r, *τὸ* A. || *ἡδόμεθα*, quod post *ἐλπίδων* est in Ar, delevi. || *σὺ* correxi, *εὐ* Ar. || 27. *οἱ* Caryophilus, *εἰ* Ar.

νων ἢ τούτων σε προτιμῶντες οὐκ ἄν πω δεόντως, εἰ τούτων σε τῶν ἐλαττόνων φαίημεν προτιμᾶν, ἀπιστοίμεθα. ἀλλὰ μὴν καὶ περὶ μὲν τοῦ διαγανακτεῖν ἐμαυτὸν ἑτοιμότερον καὶ προχειρότερον, ἀπιστῆσαι δὲ ὡς ὑπὲρ ἀνδρὸς φίλου καὶ μὴ ταχέως οὕτως ἐπιδραμεῖν σου τῇ διαβολῇ, ἐκεῖνο λέξας τἀληθέστατον ἂν εἴποιμι, ὦ Φιλοστέφανε, διότι θορυβεῖσθαι μὲν ἡμᾶς ἐποίησεν τοῖς ὑπὲρ σοῦ ὁ μαστιγίας Τίβιος, ἀπιστῆσαι δὲ ἐκείνῳ ἡ ἐμὴ τύχη. ὑπὲρ μὲν τούτων τοσαῦτα· τὸ δὲ ἀργύριον νῦν μὲν ἔστω σοι παρὰ σοί, ἐπειδὰν δὲ ὑπὲρ τῶν καθόλου διαφερόντων εἰς ἐμαυτὸν διαγνῶ καὶ βουλεύσωμαι βεβαιότερον, ἐπιστελῶ σοι τηνικαῦτα.

## η'.

*Λεάγρῳ.* Ἤπου Λεωβότης ὁ Ἀγρυλεύς, ὦ Λέαγρε, καὶ Λύσανδρος ὁ Σκαμβωνίδης καὶ Προνάπης ὁ Πρασιεὺς νῦν μὲν ἀσπάζονται τὸν Ἀθηναίων δῆμον, ὃς οὔποτε ἄλλοτε οὕτως μὲν αὐτοὺς πιστοὺς ὑπέλαβεν εἶναι, οὕτω δὲ δικαίους καὶ εὐόρκους, ὥστε περὶ τοσούτου ἀδικήματος ἐπεχώρησεν ἐξομόσασθαι σφίσι τῆς ξυμπάντων τῶν Ἑλλήνων προδοσίας· νῦν δὲ ἐφ' αὐτοῖς φρονοῦσιν πάμμεγα δή τι ἄρα καὶ ἡλίκον οὐκ ἂν ἄλλοι φρονοῖεν οὐκ ἀπαλλαγέντες μόνον τῆς ὑποψίας καὶ τῆς βλασφημίας τῆς εἰς αὐτοὺς γενομένης καὶ λεχθείσης, ἀλλὰ μετὰ τοῦ ὡς εὐσεβεῖς καὶ ὅσιοι πεπιστεῦσθαι ἀπαλλαγέντες. ἀλλ' οὐ γὰρ ὁ Γλαύκωνος μὲν υἱὸς Λέαγρος, ἐμὸς δὲ ἡλικιώτης καὶ συνέφηβος, οὔτ' οὖν Ἀθηναίους τούτου γε εἵνεκα ἀγασθήσεται, τὰ δὲ ἄλλα ἀσπαζέσθω καὶ ἀγαπάτω αὐτούς, οὔτε ἐπ' αὐτῷ σεμνυνεῖται, ἀλλ' αἰσχυνεῖται. ὑμεῖς μὲν γάρ, ὦ Λέαγρε, τῇ μὲν ὑμετέρᾳ σωτηρίᾳ μόνῃ, ἐμῇ δὲ δυστυχίᾳ χάριν ἐπιστάμενοι

---

1. εἰ Caryophilus. ἢ Ar. || 4. σου τῇ διαβολῇ correxi, σού τις διαβολή Ar. || 6. τοῖς correxi, ἐν τοῖς Ar. || 7. ἀπιστῆσαι correxi, πιστεῦσαι Ar. || δὲ ἐκείνῳ ἡ ἐμὴ τύχη Caryophilus, δεῖ ἐκείνῳ εἰ μὴ τύχῃ A, δὲ ἐκείνῳ εἰ μὴ τύχῃ r. || τοσαῦτα correxi, τοιαῦτα Ar. || 8. ἐπειδὰν r. ἐπιδ' ἂν A.

VIII. 12. ἤπου] ἴσως σχεδὸν in mg. A. || Λεωβότης ὁ Ἀγρυλεύς correxi (cf. Plut. Them. 23), λεώτης ὁ ἀρχιεύς A. Λεώτης ὁ ἀρχιερεὺς r. || 13. Προνάπης Habichius, πρινάπης Ar. || 16. ἐπεχώρησεν ἐξομόσασθαι correxi, ἐπεχείρησεν ἐξομολογεῖσθαι Ar. || 18. οὐκ Habichius, ὃ οὐκ Ar. || ἀπαλλαγέντες Habichius, ἀπαλλάττοντες Ar. || 20. ὡς add. A, om. r. || 24. ὑμεῖς A, ἡμεῖς r. || 25. τῇ — δυστυχίᾳ] an τῆς μὲν ὑμετέρας σωτηρίας μόνῃ ἐμῇ τῇ δυστυχίᾳ?

οὐχ ἁμαρτήσεσθε, ὅτι ὥσπερ μεγάλου καὶ πίονος θρέμματος καὶ ἀγρεύματος πεσόντος ἅδην ἔσχετε τοῖς Ἀθηναίοις τῆς ἐμῆς θοίνης. καί μοι τοῦτο γ᾽ οὖν μόνον, ἀποθαρσήσω γὰρ εἰπεῖν, εὐτύχηται τὰ ἄλλα πάντα οὕτως ἀρρήτως κακῶς πεπραγότι. ἀλλ᾽ ὑμᾶς γε τοὺς ἐμοὺς φίλους οὐ μέτριον ὤνησα ταῦτα παθὼν ἃ πέπονθα· ἐπιθαρρεῖν δὲ καὶ τὸ μεῖζον ἔτι ἀγάλλεσθαι ἐπὶ τῇ τοιαύτῃ σωτηρίᾳ τίς ἂν εὖ φρονῶν ὑπομείνειεν; πρότερον οὐχ ὅτι καὶ οὗτοι καταβεβοῆσθαι καταβόησιν εἰς τοὺς Ἕλληνας οὕτω μὲν ἀνήκεστον καὶ δεινήν, οὕτω δὲ ἄδικον καὶ ψευδῆ, ἀλλ᾽ ὅτι οἱ μὲν ἐπιορκοῦντες Ἀριστείδης ἦν καὶ Φαιδρίας καὶ Τισίνικος καὶ Ἀλκμαιωνίδης, οἱ δ᾽ ὀμνύντες ὑμεῖς; καὶ οὐ κατέπεσεν, ὦ θεοὶ καὶ δαίμονες οἱ τῆς ἀληθείας τῆς ἐν ἀνθρώποις ἵστορες, τὸ πρὸς ὑμῶν ὀμνυόμενον ἕδος τῆς θεοῦ, μᾶλλον δὲ αὐτὸς ὁ νεὼς ἐπὶ τὰ τῶν ἀλιτηρίων ἐκείνων βρέγματα τῶν τότε ὑμᾶς ὁρκούντων; ἀλλὰ νῦν μὲν ὑμῖν πιστεύουσιν, ὅτι ὀμωμόκατε, πρὶν δ᾽ ἄρα οὐκ ἐπίστευον; διὰ τί οὖν οὐχὶ κἀμὲ ὥρκωσαν, ἵνα κἀμοὶ πεισθῶσιν; εἰ δ᾽ ἐμὲ μὲν πονηρὸν ἡγοῦντο, ὑμᾶς δὲ χρηστούς, διὰ τί οὖν καὶ ὑμᾶς ᾐτιῶντο τηνικαῦτα τοὺς χρηστούς, ὅτεπερ κἀμὲ τὸν πονηρόν; δεῖ γὰρ ἤτοι τὸν τρόπον τὸν ἐπὶ τῷ ἀνθρώπῳ ἢ τὸν ὅρκον τὸν ἐπὶ τῷ θεῷ πιστὸν εἶναι, καὶ χρηστοὺς μὲν ὑμῶν εἰδότες τοὺς τρόπους οὐκ ἂν ἐπὶ τὸν ὅρκον ἦγον, πιστὸν δὲ εἰδότες τὸν ὅρκον οὐκ ἂν ἐφλυάρουν οὐδ᾽ ᾐτιῶντο τὸν τρόπον. ἀλλ᾽ οὐδέν ἐστιν τούτων ὑγιές, οὐδ᾽ οὕτως ἔχον, ὦ Λέαγρε, ὥσπερ ἐκεῖνοί φασιν, ἀλλὰ τὰς μὲν παρούσας παροχάς, καθάπερ ἔλεγον, ὁ φθόνος αὐτῶν πεποίηται πρὸς ὑμᾶς, ὅτι οὔπω μετὰ Θεμιστοκλέα ἄλλου δέονται, ἀλλ᾽ ὅτι ἐμοῦ πλήρεις εἰσίν. εἰ δ᾽, οἷον εἰκός, ἔρρει τὰ κατ᾽ ἐμὲ ἤδη, τηνικαῦτα δὴ ὀρρωδῶ μὲν ἐγὼ περὶ ὑμῶν, μὴ κενὸς ὑμῖν ὁ ὅρκος

---

2. ἔσχετε A, ἔχετε r. fort. *παρέσχετε*. || 3. γ᾽ οὖν A, γε οὐ r. || 4. γε Caryophilus, τε Ar. || 5. *μέτριον* A, *μετρίως* r. || 7. *ὑπομείνειεν* A, *ὑπομείνοιεν* r. || *πρότερον οὐχ ὅτι καὶ οὗτοι καταβεβοῆσθαι* Ar, nisi quod in A *οὐχ* punctis circumscriptum et in ult. voc. ε super αι adscriptum est. conieci olim *πότερον οὐχ ὅτι καὶ αὐτοὶ καταβεβόησθε*. verum iam altius subesse videtur vitium. || 10. *Ἀλκμαιωνίδης* r, *ἀλμαιωνίδης* A. || 17. *ᾐτιῶντο* r, *αἰτιῶντο* A. || 21. *πιστὸν* correxi, *πονηρὸν* Ar. || 24. *φθόνος*] immo *κόρος*. || 25. ὑμᾶς A, ἡμᾶς r. || 26. ἔρρει τὰ Caryophilus, ερητο A, ἔρητο r. || 27. δὴ correxi, δε Ar. || *μὴ κενὸς ὑμῖν* correxi, *μηδ᾽ ἐμὸς ὑμῶν* Ar.

*γένηται πεπιστεῦσθαι μὲν οἰομένοις, πιστεύσασιν δὲ ἐξαπατωμένοις, κἀγὼ μὲν ὁ μὴ πιστευόμενος ὀμνὺς ἔξω βεβηκὼς ὁρκίων καὶ ὁρκυωρῶν τύχω, ὑμεῖς δὲ οἱ μαρτυρόμενοι, ὅτι εὐσεβεῖς ἐστε καὶ εὔορκοι ἐς τάδε, ἐνασεβηθῆτε καὶ ἐνεπιορκηθῆτε ὑπὸ τῶν μαρτύρων. δεδίττει ἡμᾶς, ὦ Θεμιστόκλεις, καὶ δειματοῖς ταῦτα λέγων, φήσει τις ἴσως. σιωπῶν γὰρ ὑμᾶς οὐ δεδίττομαι, ἀλλ' εἰ μὲν λέγοιμι, ἀκούσεσθέ μου, εἰ δὲ μηδὲ τοῦτο, οὐ μέμνησθέ μου, ὅτι ἐγὼ μὲν ὁ πᾶσιν Ἀθηναίοις προστάξας ἐκλιπεῖν μὲν τὸ ἄστυ, εἰς δὲ τὰς ναῦς ἐμβαίνειν, καὶ πείσας, μᾶλλον δὲ ὑπακουσθεὶς οὐκ ἔπεισα τοὺς αὐτοὺς τούτους, ἵνα μοι ἐπιχωρήσειαν οἰκῆσαι μετ' αὐτῶν Ἀθήνησιν; καὶ τί μετ' αὐτῶν λέγω, οὐδὲ δίχα Ἀθηναίων ἐν τῇ Ἑλλάδι, ἀλλ' ὁ Πύθιος αὐτοῖς — καὶ γὰρ τοῦτό με ἐκάλουν, ὅτεπερ τὸν χρησμὸν αὐτοῖς ἐξηγησάμην — οὔτε Δελφῶν οὔτε Δήλου, τὸ δ' ἐπὶ τούτοις εἶναι οὐδὲ Ξάνθου μοῖραν ἔχοιμ' ἂν καὶ τελευτῶν εἰς Ὑπερβορέους ἐκτοπίσαιμι, καὶ ᾧ ὑπανέστησαν οἱ Ἕλληνες Ὀλυμπίαζε παρελθόντι ἐπὶ τὴν θέαν τοῦ γυμνικοῦ ἀγῶνος, τούτῳ οὐχ οἷόν τις ἐν πανηγύρει ἔτι ὑπάρχει τιμὴ καὶ προεδρία τανῦν, ἀλλ' οὐδ' ἐν βεβήλῳ τῆς Ἑλλάδος οἴκησις, οὐδ' ἐν ἱερῷ ἱκετεία καὶ καταφευξις. ταῦτα οὐκ ὀρρωδεῖτε, ὦ Λέαγρε, οὐδ' ὕπεισιν ὑμᾶς θάμβος, ἀλλὰ μετὰ τὸν ὅρκον πάντ' ἔχειν ὑμῖν οἴεσθε καλῶς; καὶ ἔχοι γάρ, ὦ δέσποινα Ἀθηνᾶ· ἀλλ' οὐδὲν οὕτως ἀνόητον ὡς ὅταν μὴ διαφέρωσιν αἱ εὐχαὶ καὶ αἱ ἐλπίδες. τί οὖν ποιητέον, ἐρήσει με. φεύγωμεν ἄρα μηδενὸς ἡμᾶς ἐλαύνοντος; οὐ λέγω τοῦτο, ἀλλὰ μὴ κοιμᾶσθε, ἀπιστεῖτε, φοβεῖσθε, ὑποθήσεται τὸ τηνικάδε ἢ ἀποχωρεῖν, ἂν τούτου δέῃ, ἢ καὶ ποιεῖν τι αὐτοῦ, ἢν τοῦ ἔργου μόνον φροντίζητε. ἢν δὲ ῥαθυμῆτε πάντ'*

---

1. *οἰομένοις — ἐξαπατωμένοις* correxi, *οἰόμενοι — ἐξαπατώμενοι* Ar. || 2. *μὲν* add. A, om. r. || 4. *ἐνασεβηθῆτε καὶ ἐνεπιορκηθῆτε* A, qui bis *ει* supra versum a sec. m. adscriptum habet, *ἐνασεβηθείητε καὶ ἐνεπιορκηθείητε* r. || *ὑπὸ* correxi, *ἀπὸ* Ar. || *δεδίττει — δειματοῖς* Habichius, *δεδίττεις — δειματεῖς* Ar. || 7. *μου* correxi, *με* Ar. || 14. *ἔχοιμ' ἂν καὶ* correxi, nisi *ἔχων ἂν* praestat, *ἔχωσιν* A, *ἔχουσιν* r. || 15. *ἐκτοπίσαιμι* r, *ἐκτοπήσαιμι* A. || 16. *οἷόν τις ἐν πανηγύρει ἔτι ὑπάρχει τιμὴ καὶ προεδρία* correxi, *οἴονται ἐν πανηγύρει καὶ ο σ ακριοι* (*ὃς ἄκρῳ* r) *τιμῇ καὶ προεδρείᾳ* (*προεδρίᾳ* r) Ar. || 18. *οἴκησις* correxi, *οἰκήσει* Ar. || 19. *ὀρρωδεῖτε* r, *ὀρωδεῖτε* A. || 21. *καὶ αἱ* correxi, *καὶ* Ar. || 22. *ἐρήσει* correxi, *ἐρήσῃ* r, *ἐρήσεις* A. || 23. *κοιμᾶσθε* A, *κοιμᾶσθαι* r. || *φοβεῖσθε* Caryophilus, *φοβεῖσθαι* Ar. || 24. *ἢ καὶ* correxi, *καὶ* Ar. || *ποιεῖν τι αὐτοῦ* Caryophilus, *ποιοντις αυτη* A, *ποῖόν τις αὔτη* r. || 25. *μόνον* A, *μόνου* r. || *πάντ'* scripsi, *πάντα* aut *πάνυ τι* Habichius, *πάνυ* Ar.

*ἔχειν ἡγούμενοι κατὰ τρόπον, δέδοικα μήποτε ὁ δυστυχὴς ἐγὼ ὅλας τὰς Ἀθήνας ἀντικρυς ἀφῃρημένος ὦ. μέχρι γὰρ νῦν ἔχω τι αὐτῶν καὶ μὰ Δί᾽ οὐχὶ τὸ φαυλότατον, ἀλλὰ τὸ βέλτιστον περιόντων ἔτι καὶ ζώντων μοι τῶν φίλων. εἰ δ᾽ οὖν ἐγὼ μὲν φυγὰς ὅποι ποτὲ γῆς ἀλώμενος, οἱ δὲ ἐχθροὶ οὗτοι λαμπροὶ καὶ μέγα ἰσχύοντες, οἱ δὲ ἑταῖροι ὑμεῖς οὔτε αὐτόθι οὐθ᾽ ὁμοῦ, δουλεία δ᾽ ἐν τῷ μέσῳ παιδαρίων ὀρφανῶν πολλῶν, γυναικῶν ἐρήμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν, ἐνίων δὲ καὶ πρεσβυτῶν καὶ πρεσβυτίδων, — ἐνίοις γὰρ αὐτῶν καὶ οἱ γονεῖς ἔτι εἰσίν — εἰ ταῦτα πάντα ἀθρόα, ὥσπερ ἔφην, καταλαμβάνοι, ἆρά γε οὐχὶ κἀμοὶ τῷ παντὶ ἄμεινον αὐτομολεῖν δεῦρο καὶ πάσχειν τὰ τοῖς ἐχθροῖς δοκοῦντα ἢ τούτων τι ὁρᾶν γιγνόμενον καὶ ἀκούειν λεγόμενον; τοιγάρτοι ταῦτά μοι οὕτως γε ὁσημέραι καὶ νυκτὸς ἐκφρόντιζε καὶ διακρίβου, ὦ Λέαγρε, καὶ τοῖς ἑταίροις ἡμῶν ἅπασιν ὑποτίθεσο καὶ παρηγόρει καὶ πρὸς ταῦτα προμηθεῖσθαι διαπειρῶ μὴ μόνον τοῖς ὠρκωμένοις, ἀλλὰ καὶ τοῖς ἀνωμότοις, οἶσθα δὲ πάντας αὐτούς. καὶ ταύτης γε αὐτῆς τῆς ἐπιστολῆς ἄχρι τουδὲ τουτὶ πᾶν τὸ μέρος ἐπιδείκνυσο αὐτοῖς, εἰ βούλει, καὶ παραναγίγνωσκε, τά μέντοι μετὰ τοῦτο ἢ ἀπαλειψάμενος διάφθειρον ἢ ἀποτεμόμενος ἔχε, καὶ ἔξω μόνου σοῦ τοῖς ἄλλοις πᾶσιν ἀνθρώποις γενέσθω ἄγνωστον. ἐγὼ γὰρ οὐκ ἀγνοῶ μέν, ὅτι καὶ θερμὸν καὶ θρασὺν καὶ ἀποκεκινδυνευκότα μᾶλλον ἢ παρακεκινδυνευμένον ἀναρρίπτω κύβον, ἀλλ᾽ οὐδὲν ἧττον ἀναρρίπτω καὶ τολμῶ καὶ δέδοκταί μοι, κἀμὲ μήτε Λέαγρος οὑμὸς ἑταῖρος ἐπισχεῖν θελήσει τῆς ὁρμῆς, οὐ γὰρ ἐφέξει, μήτε Νεοκλῆς ὁ πατὴρ ἢ Θεμιστοκλῆς ὁ θεῖος ἀναβιώσαντες νῦν καὶ δεῦρο ἀφικόμενοι, ἀλλὰ μηδ᾽ ὄρνις, μηδὲ φήμη, μηδ᾽ αὐτὸς ὁ τὸ ξύλινον τεῖχος περιτειχίσασθαι τοῖς πολίταις σου θεσπίσας. ἀλλ᾽ εὐφήμει, ὦ κράτιστε, καὶ θεοῖς εὔχου σωτηρίαν καὶ νόστον ἡμῖν ἀπήμονα ὀπίσω πέμψαι καὶ τὸ τέλος τῶν ἐγχειρουμένων μὴ μόνον ὡς ἐλπίζομεν, ἀλλὰ καὶ ὡς ἄξιοι ἐσμὲν οὕτως ἡμῖν ἐπιθέσθαι.*

---

5. *ἀλώμενος* Caryophilus, *ἄλμενος* Ar. || *οὗτοι* correxi, *οὐχ οἱ* Ar. || 6. *οὐθ᾽ ὁμοῦ* Schoettgenius, *οὐδ᾽ ὁμοῖ* Ar. || 7. post *γυναικῶν* videtur *τε* excidisse. || 12. *ὁσημέραι* A, *ὃς ἡμέρας* r. || 14. *ὑποτίθεσο* Caryophilus, *ἀποτίθεσο* Ar. || *προμηθεῖσθαι*] an *προηγεῖσθαι*? || 15. *διαπειρῶ* Caryophilus, *διὰ χειρὸς* Ar. || 16. *γε* Caryophilus, *τε* Ar. || 17. *πᾶν τὸ μέρος* A, *τὸ πᾶν μέρος* r. || *παραναγίγνωσκε* A, *παραναγίνωσκε* r. || 23. *θελήσει* r, *θελήσῃ* A. || 24. *ὁ θεῖος* r, *θεῖος* A. || 29. *ἐπιθέσθαι* Caryophilus, *ἐπεπιθε* cum lacuna quattuor fere litterarum capaci A, *ἐπέπιθε* r.

*διέγνωκα γὰρ ἀπαίρειν ἐκ τῆς Ἐφέσου αὐτίκα παρὰ βασιλέα τὸν ὡς σὺ μὲν οἶσθας πολέμιον, ὡς δὲ Ἀθηναῖοί φασιν, καὶ μαντεύοιντο, ὦ Ζεῦ δέσποτα, καὶ τἀληθῆ λέγοιεν, φίλον. προπέμπεται γάρ μοι παρ᾽ αὐτὸν ἤδη καὶ ἤπια τῷ ἀγγέλῳ ἀπεκρίνατο καὶ πρὸς ἐμὲ ἐπέστειλεν, ὥστε με παντάπασιν ἐκπεπλῆχθαι καὶ θαμβεῖν ἐσχάτως, εἰ μὴ τοσοῦτο μόνον, ὅτι οὐδὲ ἡμεῖς ἀληθὲς οὐδὲν πώποτε οὔτ᾽ εἴπομεν ἐκείνῳ οὔτ᾽ ἐπεστείλαμεν. ἀλλ᾽ οὐκ ἂν ἡμᾶς μιμούμενος τύχοι βασιλεὺς ὢν μέγας, καὶ οὐδὲν οὕτω ψευδομένῳ χρήσιμον κακῶς ἡμᾶς ποιεῖν, παρὸν εἰ ἐβούλετο καὶ τἀληθῆ λέγοντα. ἐγὼ μὲν οὖν εἶμι ὡς ἐκεῖνον, ὅ τι δὲ δράσων, ἣν δύνωμαι, αἰσχύνομαι μὲν λέγειν, ἀλλ᾽ ὅτι βούλομαι πράττειν ἢν δύνωμαι· τὰ δὲ αὐτόθι ἐπιμελοῦ τε τῶν ἡμετέρων ἥκιστα μὲν ἐπιφανῶς, ὅτι οὕτως ἀμφοῖν συμφέρει μάλιστα, καὶ μέντοι πεφροντισμένως, ὥσπερ καὶ ὅτι ποιήσεις εὖ οἶδ᾽ ἐγώ, καὶ μᾶλλον γένοιτο φανερῶς ἐπιμελήσεσθαι τῶν ἐμῶν ἢ ἀμελῶς αὐτῶν τι διαθήσεσθαι δέδοικα. ἀλλὰ κἀκεῖνό γε, εἴ με στέργεις, εὐλαβοῦ, πρῶτον μὲν αὑτοῦ ἕνεκα, ὃς ἐμοὶ τῆς ἐμῆς ψυχῆς ἄξιος εἶ, εἶτα καὶ δι᾽ ἐμὲ καὶ τὰ ἐμά, ἵνα πολὺν ἡμῖν χρόνον ὠφέλιμος εἴης καὶ χρήσιμος. ταυτὶ μὲν ὧδε ἐπέσταλται ἡμῖν ἢ ἐνόμιζον εἶναι παρὰ σέ, πειράσομαι δὲ καὶ τὰ λοιπά, ὅπως ἂν ἡμῖν ἔχῃ, διαδηλοῦν σοι τάχιστα, ἵνα μηδὲν ἀγνοῇς τῶν ἐμῶν.*

---

Restat ut quam ob caussam haec praefati simus exponamus. Denuo enim celebranda est memoria viri excellentissimi

BERNHARDI FRIDERICI RUDOLPHI LAUHN
iur. utr. d., electori Saxoniae quondam a. consil. aul.,

qui per testamentum constituit ut, qui stipendia ab ipso condita nostra in academia perciperent, in sui memoriam aut quo mortuus aut quo natus est diebus orationes publice

---

2. *οἶσθας* A, *οἶσθα* r. || 3. *γάρ* r, *γέ* A. || 4. *ἐπέστειλεν* correxi, *ἀπέστειλεν* Ar. || 6. *τοσοῦτο* A, *τοσοῦτον* r. || 9. *λέγοντα* A, *λέγοντι* r. || 10. *αἰσχύνομαι — δύνωμαι* a m. ant. in mg. adscripta habet A. || 13. *ὅτι ποιήσεις* correxi, *εἰ ποιήσῃς* A, *εἰ ποιήσεις* r. || 14. *γένοιτο* Ar. fort. scrib. *γε ναὶ τὸ* addito *σε* post *φανερῶς*. || 15. *τι διαθήσεσθαι* correxi, *διαθήσεσθαι* Caryophilus, *διατεθήσεσθαι* Ar. || *με* Dorvillius ad Char. p. 611, *μὲν* Ar. || 16. *αὑτοῦ* A, *αὐτοῦ* r. || *ὃς* correxi, *ὡς* Ar. || 17. *τὰ ἐμὰ* correxi, *τὰ ἄλλα* Ar. || 18. *ἐπέσταλται* correxi, *ἐπίσταλται* A, *ἐπίστανται* r. || *ἢ* (vel *ἃ*) in A ant. m. supra versum addidit. || 19. *εἶναι*] fort. *δεῖν*.

haberent. Hoc igitur officio d. VIII. m. Maii, quo ante hos CXLVI annos in lucem susceptus est b. Lauhnius, fungetur qui nunc stipendio Lauhniano fruitur, vir humanissimus

HERMANNUS ADOLPHUS LAUHN

Dresdensis, iuris studiosus

oratione *de ostracismi iudicio* in auditorio iuridico publice habenda.

Quam solemnitatem ut, quorum interest, praesentia sua decorare velint, omni qua par est observantia rogamus.

P. P. Lipsiae dom. Cantate a. MDCCCLVIII.

---

LIPSIAE, TYPIS A. EDELMANNI, TYPOGR. UNIVERSIT.